φαίνοιτ' ἄν, κικέρωνα τὸν σοφόν, καὶ ποιητὴν τὸν βιργίλιον. ὁ
δὲ πρὸς δύο φησὶν ὁ λόγος οὐδ' ἡρακλῆς, τί γε ἂν ἐγὼ ποιεῖν
δύο πρὸς δυσμυρίους :: Ἀλλ' ἴσως φασὶ καὶ ἡμῖν ἄλλοι τε πολ-
λοὶ καλοί τε κἀγαθοί. ξύμφημι καὶ αὐτός. καὶ γὰρ αὐτὰ ταῦ-
θ' ὑμᾶς ἐξεδεχόμην εἰπεῖν. πλὴν οὐ ξυνοίδατε ἑαυτοῖς,
ὡς ἀθῆναι μόναι τῶν ἐν ἑλλάδι πλείους ἐξήνεγκαν φιλοσό-
φους καὶ ῥήτορας, ἢ ὅσοι γεγράφεν, ἤδη ἐγένοντο ἐν πάσῃ ἰ-
ταλίᾳ; ἀλλὰ γὰρ εἰς ἀριθμοῦ καὶ σοφίας παράθεσιν, οὐχ
„ ὅπως φάναι καθ' ὅμηρον, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης,
„ τοσοῦτον ἕλληνες ἀφεστήκασι ῥωμαίων τε καὶ τῶν ἄλλων
ἁπάντων ἐθνῶν, ἀλλ' ὅσον ὁ καλούμενος τάρταρος οὐρανοῦ. νῦν
ἡμεῖς ἐσμὲν τὰ τῶν ἑλλήνων ἐλλείμματα. ἀπάτριδες
ἀπόλιδες, γῆ καὶ σποδὸς τοῖς ἐντυγχάνουσιν ὡς φασί, καὶ ξέ-
νοι καὶ παρεπίδημοι, καὶ προσήλυτοι καὶ ἄζυγες. καὶ ὑμεῖς
δέ μοι ξυμφαίνοιτ' ἄν, κἂν εἰ μὴ βούλησθε κἂν εἰ βούλοισθε.
ἰταλοὶ δέ, τὰ πάλαι καὶ πρῶτα τῶν ἑσπερίων ἐς τόδε. πρῶτα
δέ φημι καὶ πάλαι, τελευταῖα τε καὶ ἐλλείμματα, πρός γε τὸ τέ-
λος καὶ τὴν ἀρχήν, ἢ τὸ δοῦλον καὶ τὸ ἐλεύθερον. καὶ ὅλως δὲ ὁμ-
ἑκατέροιν ἐχόντοιν, ἔστιν ἰδεῖν ἕλληνας τῆς ἰταλίας ἑκαστα-
χῇ, τὰ ἑλλήνων καὶ ῥωμαίων ἀνυποστόλως διαδιδάσκοντας.
ἑσπέριον δὲ οὐδὲν οὐδεὶς οὐδεπώποτε, οὔτ' εἶδεν, οὔτ' ἤ-
κουσεν ἐν ἑλλάδι πη τὸν ἕλληνα λόγον διαδιδάξαντα. οὐ
δὲ γὰρ οὐδὲ πλεῖν ἄν, κἂν εἰ δυνηθεῖεν κἂν εἰ βουληθεῖεν δια-
διδάξαιαν. τοῦ ἡγεμόνος τῶν οὔννων, πολλάς τε ἄλλας ἐπαρ-
χίας, καὶ τὴν ἑλλάδα καταδαρδάψαντος. καὶ νῦν ἐπιχειροῦν-
τος ἤδη καὶ τὴν εὐρώπην. ὃ μήτ' ἴδοιμι μήτ' ἀκούσαιμι, μή-
τ' ἐγώ, μήθ' ὑμεῖς, μήτ' ἄλλος τῶν ἐξ ἡμῶν. αὐτὸν δὲ μᾶλ-
λον θεὸς ἐξολέσειεν, ὁ δυνηθῆναι τοσοῦτον ἀφείς, καὶ μὴ ἐσέ-
τι νῦν κορεσθῆναι τῶν ἀνθρωπίνων αἱμάτων, καὶ μάλιστα τῶν
ἡμῶν, δι' ἣν ἐκεῖνος οἶδεν αἰτίαν δικαιοτάτην καὶ πάνσοφον :.

conf. Fabric. B. Gr. c. II. c. III.

Sed u. Marq. Freher de fure.